ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου.
8 ἔφραξα δὲ θάλασσαν πύλαις,
ὅτε ἐμαίμασσεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη·
9 ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν,
ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα·
10 ἐθέμην δὲ αὐτῇ ὅρια
περιθεὶς κλεῖθρα καὶ πύλας·
11 εἶπα δὲ αὐτῇ Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ,
ἀλλ᾿ ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.
12 ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωινόν,
ἑωσφόρος δὲ εἶδεν τὴν ἑαυτοῦ τάξιν
13 ἐπιλαβέσθαι πτερύγων γῆς,
ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς;
14 ἦ σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῷον
καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς;
15 ἀφεῖλας δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς,
βραχίονα δὲ ὑπερηφάνων συνέτριψας;
16 ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης,
ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας;
17 ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου,
πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν;
18 νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ᾿ οὐρανόν;
ἀνάγγειλον δή μοι πόση τίς ἐστιν.
19 ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς,
σκότους δὲ ποῖος ὁ τόπος;
20 εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν;
εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν;
21 οἶδα ἄρα ὅτι τότε γεγέννησαι,
ἀριθμὸς δὲ ἐτῶν σου πολύς.
22 ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος,
θησαυροὺς δὲ χαλάζης ἑόρακας.
23 ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν,
εἰς ἡμέραν πολέμου καὶ μάχης.
24 πόθεν δὲ ἐκπορεύεται πάχνη
ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ᾿ οὐρανόν;

$7^2$ φωνη] pr. εν AV† | fin.] + και υμνησαν AV† || $8^2$ εμαιμασσεν(S*† -μαξεν) ... εκπορευομενη] εμαιουτο και ... εξεπορευετο AV† | αυτη B† || $12^2$ επιδεν A†, εφιδεν(cf. Thack. p. 125) V† || $13^2$] pr. και AV† || $14^2$ αυτο ASc || $15^1$ αφιλω A†, αφιλου(cf. Thack. p. 211) V† | $15^2$ βραχ. δε] και βρ. AV†: cf. 3 12 || $16^1$ πηγην] γην A || $18^2$ δη] δε A | ποση η τις (uel ποση ητις?) A || $19^1$] pr. εν AV† | το > A† | $19^2$ ο] εστιν AV† || $20^1$ ει] + αρα A || $21^1$ οιδας Sc pl.: = 𝔐 | τοτε] εις τουτο AV† || $22^2$ χαλ.] θαλασσης S*† || $23^1$ αποκ⟨ε⟩ινται AV† | $23^2$ πολεμων B†